e | rara

www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

## Homerus

## [Basel], [1541]

## Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Odysseias A

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Α ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Θεῶν ἀγορὰ γίνεται περὶ τοῦ τὸν Ὀδυσσέα εἰς Ἰθάκην πεμφθῆναι ἀπὸ τῆς Καλυψοῦς νήσου, μεθ᾽ ἣν ἡ Ἀθηνᾶ εἰς Ἰθάκην παραγίνεται πρὸς Τηλέμαχον, ὁμοιωθεῖσα Μέντῃ βασιλεῖ Ταφίων. γενομένης δὲ ὁμιλίας παραινέσασα ἡ Ἀθηνᾶ Τηλεμάχῳ παραγενέσθαι διὰ τὴν τοῦ πατρὸς ζήτησιν, εἰς Πύλον μὲν, πρὸς Νέστορα, εἰς Σπάρτην δὲ πρὸς Μενέλαον, ἀπαίρει, ἔμφασιν δοῦσα ὡς θεὸς εἴη, καὶ τῶν μνηστήρων γίνεται εὐωχία.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Α ΟΔΥΣΣΕΙΑΣ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

ΑΝΔΡΑ.] νῦν τὸν φύσει. οὐ γὰρ εὑρίσκεται δύο ἐπίθετα ἄνευ κυρίου ἢ προσηγορικοῦ, δηλοῖ δὲ καὶ τὸν ἀνδρεῖον, ἀνδρὸς ἀκοντίσαντος, καὶ τὸν ἀνδρὸς ἡλικίαν ἔχοντα. ὡς τὸ νῦν γέμετ᾽ ἀνδρῶν ἴσει ἀριθμῷ. καὶ τὸν γήμαντα, ἄνδρα μὲν ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ. καὶ τὸν φύσει. ἄνδρες κίκλησκον, καλλίζωνοί τε γυναῖκες. ἔννεπε.] εἰπέ. πολύτροπον.] ἐπὶ πολλὰ τρέποντα τὴν διάνοιαν, συνετόν, ἢ πολλῶν ἔμπειρον τρόπων. πλάγχθη.] ἐπλανήθη. ἐπεὶ Τροίης.] ἀντὶ τοῦ ἀφ᾽ οὗ τὴν Τροίαν. ἱερὸν πτολίεθρον.] διὰ τὸ τετειχίσθαι ὑπὸ θεῶν, ἢ διὰ τὴν πρὸς τὸν Δία εὐσέβειαν.

# ΟΔΥΣΣΕΙΑΣ Α ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἄλφα θεῶν ἀγορή, Ὀδυσσηΐδι Παλλάδι θάρσος.

Ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ
Πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε.
Πολλῶν δ᾽ ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω.
Πολλὰ δ᾽ ὅγ᾽ ἐν πόντῳ πάθεν ἄλγεα, ὃν κατὰ θυμὸν
Ἀρνύμενος ἥν τε ψυχήν, καὶ νόστον ἑταίρων.
Ἀλλ᾽ οὐδ᾽ ὣς ἑτάρους ἐρρύσατο ἱέμενός περ,
Αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο
Νήπιοι, οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο
Ἤσθιον, αὐτὰρ ὁ, τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.
Τῶν ἁμόθεν γε θεὰ θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν.
Ἔνθ᾽ ἄλλοι μὲν πάντες ὅσοι φύγον αἰπὺν ὄλεθρον
Οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες, ἠδὲ θάλασσαν,
Τὸν δ᾽ οἶον νόστου κεχρημένον ἠδὲ γυναικός,
Νύμφη πότνι᾽ ἔρυκε Καλυψὼ δῖα θεάων
Ἐν σπέοσι † γλαφυροῖσι λιλαιομένη πόσιν εἶναι. † σπέεσι
Ἀλλ᾽ ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
Τῷ οἱ ἐπεκλώσαντο θεοί, οἶκόνδε νέεσθαι
Εἰς Ἰθάκην, οὐδ᾽ ἔνθα πεφυγμένος ἦεν ἀέθλων.

Καὶ

ἔπερσεν.] ἐπόρθησεν. ἄστεα.] πόλεις. πάθεν ἄλγεα.] ἐνταῦθα στικτέον. εἶτα ὃν κατὰ θυμὸν ἀρνύμενος. τὸ ἐφ᾽ ἑαυτῷ περιποιῶν καὶ σώζων ἑαυτὸν καὶ τοὺς ἑταίρους. ἢ ἀντὶ τοῦ καταλλασσόμενος τὴν ἑαυτοῦ ψυχὴν καὶ τὴν εἰς τὸν οἶκον τιμωρίαν, ὑπὲρ τῶν ἑταίρων. οἷον αὐτὸς ἀπολέσθαι θέλων ἵνα σώσῃ τοὺς ἑταίρους. διαληπτέον ἐπὶ τῷ καὶ νόστον. πόντῳ.] θαλάσσῃ. ὃν κατὰ θυμόν.] κατὰ τὴν ἑαυτοῦ ψυχήν. ἀρνύμενος.] ἀντικαταλλασσόμενος. ἥν.] τὴν ἑαυτοῦ νόστον οὖν φησίν, τὴν οἴκαδε ἐπάνοδον. ἐρρύσατο.] ἔσωσεν. ἀτασθαλίῃσιν.] φρενοβλαβείαις. ἱέμενός περ.] καίπερ προθυμούμενος. σφετέρῃσι.] ταῖς ἑαυτῶν. ὄλοντο.] ἀπώλοντο. νήπιοι.] ἄφρονες, ἀνόητοι. οἳ κατὰ βοῦς.] ἐμνήσθη τούτων ἐπεὶ ἐκ προαιρέσεως ἀδικήσαντες, ἀπώλοντο. ὑπερίονος.] ἐπιθετικῶς τοῦ ἡλίου. ἀπὸ τοῦ ὑπὲρ ἡμᾶς ἰέναι. Ἡσίοδος δὲ ὑπερίονος αὐτὸν ἐγενεαλόγησεν. νόστιμον ἦμαρ.] τὴν τῆς ἀνακομιδῆς ἡμέραν. τῶν ἁμόθεν γε.] τῶν περὶ τὸν Ὀδυσσέα, ὁπόθεν θέλεις πράξεων ἀπό τινος μέρους ἀρξαμένη διηγοῦ ἡμῖν. ἁμόθεν.] ποθέν. ἔστι λέξις τῶν Ἀττικῶν. ἢ ἀπό τινος μέρους, ὁπόθεν θέλεις. θύγατερ Διός.] ἀντὶ τοῦ ὦ Μοῦσα. εἰπὲ καὶ ἡμῖν.] ὡς σὺ οἶδας, ἵνα καὶ ἡμεῖς γνῶμεν. αἰπύν.] δεινόν, χαλεπόν. οἴκοι.] εἰς τὰ οἰκεῖα ἐπὶ τῆς οἰκίας. οἶον.] μόνον, ὁποῖον. νόστου.] τῆς οἴκαδε ἐπανόδου, ἢ δὲ γυναικός. οἰκείως προτέθεικεν ἵνα καταφρονήσῃ καὶ θεᾶς ἐρώσης. πότνια.] σεμνή, ἔντιμος, σεβασμία. ἔρυκε.] κατεῖχεν, ἐκώλυεν. δῖα.] ἐνδοξοτάτη. Καλυψώ.] Ἄτλαντος θυγάτηρ. ἐν σπέεσι.] σπηλαίοις. γλαφυροῖσι.] κοίλοις, βαθέσιν. λιλαιομένη.] ἐπιθυμοῦσα. πόσιν.] ἄνδρα. περιπλομένων.] περιερχομένων, τελειουμένων. τῷ οἱ.] ἐν ᾧ αὐτῷ. ἐπεκλώσαντο.] εἱμαρμένον γενέσθαι ἐποίησαν. πεφυγμένος.] διαπεφευγώς.

ἀέθλων.] κακοπαθειῶν. οἷσι.] τοῖς ἑαυτοῦ. ἐλέαιρον.] ἠλέουν. νόσφιν.] χωρίς. ὁ δ' ἀσπερχές.] οὗτος δὲ ὅλως. μενέαινεν.] ἐχολοῦτο, ὠργίζετο. ἀντιθέῳ.] ἰσοθέῳ κατὰ ἀρετήν. ἧος.] τότε, χρονικὸν ἐπίρρημα, καὶ τόπου. μετεκίαθεν.] μετῆλθεν. πάρος.] πρίν, πρότερον. τηλόθ' ἐόντας.] μακρὰν οἰκοῦντας. διχθά.] διχῶς, εἰς δύο. δεδαίαται.] νενέμηνται, μεμερισμένοι εἰσίν. οἱ μὲν γὰρ αὐτῶν ἐπ' ἀνατολὰς εἰσίν. οἱ δὲ ἐπὶ δυσμάς, τινὲς δὲ πρὸς τὸν Νεῖλον σχίζεσθαι αὐτοὺς λέγουσιν. δυσομένου ὑπερίονος.] τοῦ πρὸς δύσιν ἡλίου. βούλεται δὲ ὑπὲρ τοὺς Αἰθίοπας, τοὺς πρὸς δύσιν ὄντας. οἱ δ' ἀνιόντος.] ἀνατέλλοντος τοῦ, ἀνατολικοὺς δηλοῖ. ἀντιόων.] μεταληψόμενος. ἤτοι ὑπαντῶν ἢ μεταλαμβάνων. δαιτί.] εὐωχίᾳ. ἑκατόμβης.] μεγάλης θυσίας. παρήμενος.] παρών, διατρίβων. τοῖσι δέ.] ἐν τούτοις δὲ τοῖς θεοῖς. ὀλυμπίου.] τοῦ τὸν ὄλυμπον οἰκοῦντος. μύθων.] λόγων. ἀθρόοι.] ὁμοῦ. πατὴρ ἀνδρῶν τε θεῶν τε.] ὁ Ζεύς. ἦρχε.] προκατήρχετο. μνήσατο.] ὑπεμνήσθη. τόν ῥα.] ὅν τινα δή. ἀμύμονος Αἰγίσθοιο.] ἤτοι καλοῦ πρὸ τοῦ μοιχεῦσαι, ἢ τοῦ κατὰ γένος ἀγαθοῦ. τηλεκλυτός.] οὗ πόρρωθεν δόξα διέρχεται. μετηύδα.] ἐν αὐτοῖς εἶπεν. ὢ πόποι.] ὢ παπαί. ἔστι δὲ ἐπίρρημα σχετλιασμοῦ δηλωτικόν. αἰτιόωνται.] αἰτιῶνται. φασί.] λέγουσι. ἐξ ἡμέων.] ἐξ ἡμῶν. σφῇσι.] ταῖς ἑαυτῶν. οἱ δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίῃσιν.] τὸ ἑξῆς οἱ δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίαις, ὅ ἐστι ταῖς ἑαυτῶν ἐν ἴσῳ τῷ αὐτοὶ αἴτιοί εἰσιν. οἱ δὲ περισσὸν τὸν καὶ σύνδεσμον. ἢ στικτέον οἱ δέ. ἀτασθαλίαις.] ἁμαρτίαις. ὑπὲρ μόρον.] ὑπὲρ τὸ πεπρωμένον. γῆμε.] ἔγημεν. ἄλοχον.] γαμετήν. μνηστήν.] τὴν ἐκ μνηστείας γεγαμημένην γυναῖκα. νοστήσαντα.] ὑποστρέψαντα, ἐπανελθόντα. εἰδώς.] ἐπιστάμενος. πρό οἱ εἴπομεν.] προείπομεν αὐτῷ. Ἀργειφόντην.] τὸν ἀργὸν φόνου καὶ εἰρηνικόν. ἢ τὸν φονεύσαντα Ἄργον, τὸν πολυόμματον κύνα, ὃς ἐφύλασσε τὴν Ἰώ. κτείνειν.] ἀνελεῖν, φονεῦσαι. μνάασθαι.] μνηστεύεσθαι. τίσις.] ἀντὶ τοῦ ἔκτισις, τιμωρία, κόλασις. ἔσσεται.] γενήσεται. Ἀτρείδαο.] μετὰ τοῦτο ὑποστικτέον, ἢ τοῦ Ἀτρείδαο Ἀγαμέμνονος τοῦ Ὀρέστου. ἡβήσῃ.] ἀκμάσῃ. ἱμείρεται.] ἐπιθυμεῖ. ἀλλ' οὐ φρένας Αἰγίσθοιο πεῖθ' ἀγαθὰ φρονέων.] καὶ τοῦτο δηλονότι δύο περὶ ἕκαστον εἰσὶν εἱμαρμέναι. αἱρεῖται δὲ ἕκαστος ἣν βούλεται. ἀθρόα.] ὁμοῦ πάντα. ἀπέτισεν.] ἀπέδωκεν. ὕπατε.] ἐνδοξότατε, ὑπερέχων. κρειόντων.] βασιλέων ἀρχόντων. καὶ λίην.] πάνυ μὲν οὖν. ἐοικότι.] ὁμοίῳ. ὡς ἀπόλοιτο καὶ ἄλλος.] ἐμφαίνει τοὺς μνηστῆρας. ὀλέθρῳ.] θανάτῳ. ῥέζοι.] ἐπιτελοίη, παρὰ τὸ αἷμα πράττων. δαΐφρονι.] πολεμόφρονι. δαῒς γὰρ ἡ μάχη. ὅταν δὲ ἐπὶ τῆς Πηνελόπης λέγῃ δεδαυῖα καταφρένας, τουτέστι μεμαθηκυῖα, ἐξ οὗ τὴν συνετὴν καὶ σώφρονα βούλεται δηλοῦν. δαίεται.] διακόπτεται. τὸ γὰρ καίεται ἐρώσης. δυσμόρῳ.] κακομόρῳ. δηθά.] πολλά. φίλων ἄπο.] πόρρω τῶν φίλων. ἀμφιρρύτῃ.] τῇ κύκλῳ ὑπὸ θαλάσσης περιρρεομένῃ. ὅθι.] ἀντὶ τοῦ ὅπου. ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης.] μέση τῆς περὶ αὐτὴν θαλάσσης. ὀμφαλός.] τὸ μεσαίτατον.

Καὶ μετὰ οἷσι φίλοισι, θεοὶ δ' ἐλέαιρον ἅπαντες,
Νόσφι Ποσειδάωνος, ὁ δ' ἀσπερχὲς μενέαινεν
Ἀντιθέῳ Ὀδυσῆϊ, πάρος ἣν γαῖαν ἱκέσθαι.
Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν.
Οἱ μὲν δυσομένου ὑπερίονος, οἱ δ' ἀνιόντος.
Ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.
Ἔνθ' ὅγε τέρπετο δαιτὶ παρήμενος, οἱ δὲ δὴ ἄλλοι,
Ζηνὸς ἐνὶ μεγάροισιν ὀλυμπίου ἀθρόοι ἦσαν.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο,
Τόν ῥ' Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκταν' Ὀρέστης.
Τοῦ ὅγ' ἐπιμνησθεὶς, ἔπε' ἀθανάτοισι μετηύδα,
Ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται.
Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ
Σφῇσιν ἀτασθαλίῃσιν, ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.
Ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρείδαο
Γῆμ' ἄλοχον μνηστήν, τὸν δ' ἔκτανε νοστήσαντα,
Εἰδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
Ἑρμείαν πέμψαντες ἐΰσκοπον Ἀργειφόντην,
Μήτ' αὐτὸν κτείνειν, μήτε μνάασθαι ἄκοιτιν.
Ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρείδαο,
Ὁππότ' ἂν ἡβήσῃ τε, καὶ ἧς ἱμείρεται αἴης.
Ὣς ἔφαθ' Ἑρμείας, ἀλλ' οὐ φρένας Αἰγίσθοιο
Πεῖθ' ἀγαθὰ φρονέων. νῦν δ' ἀθρόα πάντ' ἀπέτισε.
Τὸν δ' ἠμείβετ' ἔπειτα, θεὰ γλαυκῶπις Ἀθήνη,
Ὦ πάτερ ἡμέτερε Κρονίδη ὕπατε κρειόντων,
Καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ,
Ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅστις τοιαῦτά γε ῥέζοι,
Ἀλλά μοι ἀμφ' Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ
Δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει,
Νήσῳ ἐν ἀμφιρρύτῃ ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης

Νῆσος

ναίει.]

Νῆσος δενδρήεσσα, θεὰ δ' ἐν δώμασι ναίει,
Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅς τε θαλάσσης
πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
Μακράς. αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι,
Τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει,
Αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
Θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται, αὐτὰρ Ὀδυσσεὺς
Ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι
Ἧς γαίης, θανέειν ἱμείρεται, οὐδέ νυ σοίπερ
Ἐντρέπεται φίλον ἦτορ Ὀλύμπιε. οὔ νύ τ' Ὀδυσσεὺς
Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων
Τροίῃ ἐν εὐρείῃ, τί νύ οἱ τόσον ὠδύσαο Ζεῦ.
Τὴν δ' ἀπαμειβόμενος, προσέφη νεφεληγερέτα Ζεύς
Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην;
Ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν
Ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
Ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰὲν
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν
Ἀντίθεον Πολύφημον, ὅου κράτος ἐστὶ μέγιστον
Πᾶσι Κυκλώπεσσι, Θόωσα δέ μιν τέκε νύμφη,
Φόρκυνος θυγάτηρ, ἁλὸς ἀτρυγέτοιο μέδοντος,
Ἐν σπέεσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα.
Ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων.
Οὔ τι κατακτείνει, πλάζει δ' ἀπὸ πατρίδος αἴης.
Ἀλλ' ἄγεθ' ἡμεῖς οἵδε περιφραζώμεθα πάντες
Νόστον ὅπως ἔλθῃσι, Ποσειδάων δὲ μεθήσει
Ὃν χόλον, οὐ μὲν γάρ τι δυνήσεται ἀντία πάντων
Ἀθανάτων, ἀέκητι θεῶν ἐριδαινέμεν οἶος.
Τὸν δ' ἠμείβετ' ἔπειτα, θεὰ γλαυκῶπις Ἀθήνη.
Ὦ πάτερ ἡμέτερε Κρονίδη ὕπατε κρειόντων.
Εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι θεοῖσι,
Νοστῆσαι Ὀδυσῆα δαΐφρονα ὅνδε δόμονδε.
Ἑρμείαν μὲν ἔπειτα διάκτορον ἀργεϊφόντην
Νῆσον ἐς Ὠγυγίην ὀτρύνομεν, ὄφρα τάχιστα
Νύμφῃ ἐϋπλοκάμῳ εἴπῃ νημερτέα βουλήν,
Νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται,
Αὐτὰρ ἐγὼν Ἰθάκην δ' εἰσελεύσομαι, ὄφρα οἱ υἱὸν
Μᾶλλον ἐποτρύνω, καί οἱ μένος ἐν φρεσὶ θείω,

Εἰς

ναίει.] οἰκεῖ. ὀλοόφρονος.] ὀλεθρίου. ἐπεὶ πολέμιος τοῖς θεοῖς. οἱ δέ, τὸ ἑξῆς, θαλάσσης ὀλοόφρονος. οἱ δὲ ἐδάσυναν, ἵνα ᾖ, περὶ τῶν ὅλων φρονοῦντος. αὐτὸς γὰρ ὁ Ἄτλας τὸν κόσμον βαστάζων παραδίδοται. ἢ ἐγέγραπτο κατὰ τὴν ἀρχαίαν γραφὴν ὀλοόφρον, εἶτα τὶς μὴ νοήσας προσέθηκε τὸ ος. βένθεα.] βάθη. ἔχει δέ τε.] νῦν ἐπιμελεῖται, ὡς κἀκεῖ, καί μοι κῆπον ἔχει πολυδένδρεον, ἢ κρατεῖ καὶ βαστάζει. κίονας.] στύλους. ἀμφὶς ἔχουσιν.] διείργουσιν.

τοῦ.] τούτου. δύστηνον.] ἄθλιον.

ὀδυρόμενον.] ἀποκλαιόμενον.

αἱμυλίοισι.] παραλογιστικοῖς ἢ εὐνοϊκοῖς καὶ οἷον συγγενικοῖς τοῖς μετ' ἐμπειρίας συνετοῖς καὶ προσηνέσιν.

θέλγει.] ἀπατᾷ. ἐπιλήσεται.] ἐπιλάθηται, ἀμνημονήσει. καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι ἧς γαίης.] ἐνταῦθα στικτέον. τὸ γὰρ ὅλον ὁ πρότερον ἐπιθυμῶν καπνὸν τῆς πατρίδος ἰδεῖν νῦν εὔχεται διὰ τὰ κατέχοντα τελευτῆσαι.

ἐντρέπεται.] μεταστροφὴν λαμβάνει. οὔ νύ τ' Ὀδυσσεὺς Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων.] ἐκεῖνος μὲν τὰ παρ' αὐτοῦ ἐπιθύων, σὺ δὲ οὐ κεχαρισμένος ἐλάμβανες. ῥέζων.] θύων, πράττων. εὐρείῃ.] πλατείᾳ. τί νύ οἱ.] διατί δὴ αὐτῷ. ὠδύσαο.] ἐχολώθης, ὠργίσθης. περὶ μὲν νόον ἐστὶ βροτῶν.] ἀντὶ τοῦ, περί ἐστιν ἁπάντων καὶ συνέσει καὶ εὐσεβείᾳ. γαιήοχος.] ὁ τὴν γῆν ὀχῶν. ἢ ὑπὸ τῆς γῆς ὀχούμενος.

ἀσκελές.] ἀμετακινήτως. κατὰ στέρησιν τῶν σκελῶν, ἢ ἀδιαλείπτως καὶ ἄγαν σφοδρῶς. αἰέν.] ἀεὶ καὶ διαπαντός. κεχόλωται.] ὤργισται. ἀλάωσεν.] ἐτύφλωσεν. ἀντίθεον.] νῦν τὸν ἐναντιούμενον θεοῖς τὸν ἀσεβῆ.

ὅου.] οὗτινος ἔσκεν ἀπῆρχεν. Θόωσα.] μήτηρ Πολυφήμου κύκλωπος κυρίως οὕτως λεγομένη. Φόρκυνος θυγάτηρ.] ἐνάλιος γὰρ θεὸς ὁ Φόρκυς.

μέδοντος.] βασιλεύοντος. συνήθως γὰρ τοὺς ὑπάρχους βασιλεῖς ἔλεγον, ἢ συναπτέον μέδοντος ἐν σπέεσι, ὥστε ἐν σπηλαίοις τοῦ Ποσειδῶνος γεννηθῆναι τὸν Κύκλωπα. μιγεῖσα.] κοινωνήσασα. ἐκ τοῦ δή.] ἐκ ταύτης δὴ τῆς αἰτίας. ἐνοσίχθων.] ὁ τὴν γῆν κινῶν. ἔνωσις γὰρ ἡ κίνησις. κατακτείνει.] ἀναιρεῖ. πλάζει.] πλανᾶσθαι ποιεῖ.

ἀπό.] πόρρω. περιφραζώμεθα.] βουλευσώμεθα. νόστον.] τὴν ἐπάνοδον. μεθήσει.] ἐάσει, παύσει. ἀντία.] ἀντικρύ. ἀέκητι.] ἀκουσίῳ γνώμῃ. ἐριδαινέμεν.] φιλονικεῖν. φίλον.] προσφιλές, ἀρεστόν. νοστῆσαι.] ἐπανελθεῖν. ὅνδε δόμονδε.] εἰς τὸν ἑαυτοῦ οἶκον. διάκτορον.] ἄγγελον σαφῆ. Ὠγυγίη.] ἡ Καλυψοῦς νῆσος. ὀτρύνομεν.] παρορμήσωμεν, ἐπείξωμεν. ἐϋπλοκάμῳ.] εὐκόμῳ. ἀπὸ μέρους καλῇ. ταλασίφρονος.] τῇ ἑαυτοῦ φρονήσει πάντα ὑπομένοντος. νέηται.] ἐπανέλθῃ. ἐποτρύνω.] παρορμήσω.

Εἰς ἀγορὴν καλέσαντα καρηκομόωντας Ἀχαιοὺς,
Πᾶσι μνηστήρεσσιν ἀπειπέμεν, οἵ τέ οἱ αἰεὶ
Μῆλ' ἁδινὰ σφάζουσι, καὶ εἰλίποδας ἕλικας βοῦς.
Πέμψω δ' ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα
Νόστον πευσόμενον πατρὸς φίλου ἤν που ἀκούσῃ,
Ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν,
Ὣς εἰποῦσ', ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο,
Εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ.
Βριθὺ, μέγα, στιβαρὸν, τῷ δάμνησι στίχας ἀνδρῶν
Ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα,
Στῆ δ' Ἰθάκης ἐνὶ δήμῳ ἐπὶ προθύροις Ὀδυσῆος,
Οὐδοῦ ἐπ' αὐλείου, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,
Εἰδομένη ξείνῳ Ταφίων ἡγήτορι Μέντῃ.
Εὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας, οἱ μὲν ἔπειτα
Πεσσοῖσι προπάροιθε θυράων θυμὸν ἔτερπον,
Ἥμενοι ἐν ῥινοῖσι βοῶν, οὓς ἔκτανον αὐτοί,
Κήρυκες δ' αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες,
Οἱ μὲν ἄρ' οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,
Οἱ δ' αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
Νίζον καὶ προτίθεντο, ἰδὲ κρέα πολλὰ δατεῦντο.
Τὴν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδής.
Ἧστο γὰρ ἐν μνηστῆρσι φίλον τετιημένος ἦτορ.
Ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσὶν εἴποθεν ἐλθὼν,
Μνηστήρων τῶν μὲν σκέδασιν κατὰ δώματα θείη.
Τιμὴν δ' αὐτὸς ἔχοι καὶ κτήμασιν οἷσιν ἀνάσσοι.
Τὰ φρονέων μνηστῆρσι μεθήμενος, εἴσιδ' Ἀθήνην,
Βῆ δ' ἰθὺς προθύροιο, νεμεσσήθη δ' ἐνὶ θυμῷ.
Ξεῖνον δηθὰ θύρῃσιν ἐφεστάμεν, ἐγγύθι δὲ στὰς,
Χεῖρ' ἕλε δεξιτερὴν καὶ ἐδέξατο χάλκεον ἔγχος.
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
Χαῖρε ξεῖνε, παρ' ἄμμι φιλήσεαι, αὐτὰρ ἔπειτα
Δείπνου πασσάμενος, μυθήσεαι ὅττεό σε χρή.
Ὣς εἰπὼν ἡγεῖθ', ἡ δ' ἕσπετο Παλλὰς Ἀθήνη.
Οἱ δ' ὅτε δή ῥ' ἔντοσθεν ἔσαν δόμου ὑψηλοῖο,
Ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν,
Δουροδόκης ἔντοσθεν ἐΰξόου, ἔνθα περ ἄλλα
Ἔγχε' Ὀδυσσῆος ταλασίφρονος ἵστατο πολλά.
Αὐτὴν δ' ἐς θρόνον εἷσεν ἄγων ὑπὸ λῖτα πετάσσας
Καλὸν δαιδάλεον, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν,
Πὰρ δ' αὐτὸς κλισμὸν θέτο ποικίλον, ἔκτοθεν ἄλλων
Μνηστήρων, μὴ ξεῖνος ἀνιηθεὶς ὀρυμαγδῷ,

Ἀχαιούς.] τοὺς Ἰθακησίους. ἀπειπέμεν.] ἀπαγορεῦσαι. οἵ τέ οἱ.] οἵτινες αὐτῷ. ἁδινά.] ἤτοι λεπτὰ πρὸς σύγκρισιν τῶν βοῶν ἢ ἀντὶ τοῦ ἁδινῶς, ἵνα ᾖ πυκνῶς καὶ συνεχῶς. ἕλικας.] ἑλικοειδῆ κέρατα ἔχοντας. ἠμαθόεντα.] ἀμμώδη. πευσόμενον.] ἀκουσόμενον. ἤν που.] ἐάν που. ἀμβρόσια.] τίμια. τά μιν.] ἅπερ αὐτήν. ἀπείρονα.] τὴν πέρας καὶ τέλος μὴ ἔχουσαν λέγει δὲ τὴν γῆν. ἅμα πνοιῇς ἀνέμοιο.] ἴσα ἀνέμῳ. εἵλετο δ' ἄλκιμον ἔγχος.] ἀθετοῦνται μετὰ ἀστερίσκων, ὅτι ἐν τῇ τῆς Ἰλιάδος καλῶς. ἀκαχμένον.] ἐστομωμένον. κοτέσσεται.] ὀργισθήσεται.

βῆ.] ἔβη, ἐπορεύθη. ὄβριμα.] γενναῖα. δήμῳ.] τόπῳ ἐν Ἰθάκῃ ὅπου ἦν τὸ Ὀδυσσέως βασίλειον. οὐδοῦ.] βαθμοῦ φλιᾶς. παλάμῃ.] τῇ χειρί. Ταφίων.] Τάφος ἡ νῆσος τῶν Ἐχινάδων, ἣν κατῴκουν Τηλεβόαι. ἀγήνορας.] ἄγαν αὐθάδεις, ὑβριστάς. πεσσοῖσι.] τοῖς κύβοις, ἀπὸ δὲ τοῦ παίζειν ἐσχημάτισται ἢ παρὰ τὸ πίπτειν, πεσσοὶ δὲ οἱ ψῆφοι. προπάροιθεν.] ἔμπροσθεν. ἥμενοι ἐν ῥινοῖσι.] διὰ τούτου τὸ βίαιον ἐμφαίνει τῶν μνηστήρων τὸ τὰς βύρσας ὑποστρωννύειν τοῖς θρόνοις καθημένοις. ῥινοῖσι.] βύρσαις. ἔκτανον.] ἀνεῖλον. ὀτρηροί.] δραστικοί. πολυτρήτοισι.] πανταχόθεν τετρημένοις. νίζον.] ἀπένιπτον. ἰδὲ ἀντὶ τοῦ καί. προτίθεντο.] προετίθεσαν. δατεῦντο.] ἐμέριζον. τετιημένος ἦτορ.] τετιμωρημένος τὴν ψυχήν. ὀσσόμενος.] ἀνειδωλοποιούμενος, προσδοκῶν, ἢ τοῖς ὀφθαλμοῖς ὑποβλέπων. σκέδασιν.] σκορπισμόν, φυγήν. θείη.] ποιήσει. κτήμασι.] δώματι. ἀνάσσοι.] βασιλεύοι. τὰ φρονέων.] ταῦτα ἐνθυμούμενος. μεθήμενος.] σὺν αὐτοῖς καθήμενος. βῆ δ' ἰθὺς προθύροιο.] ἐπ' εὐθείας ὡς ἐπὶ τὸ πρόθυρον οὐκ ἔνδον, ἀλλὰ πρὸ τῆς ἐν τῷ τυκτῷ καλουμένῳ δαπέδῳ. νεμεσσήθη.] μεμπτῶς ἠγήσατο. φιλήσεαι.] φιλοφρονηθήσῃ, ξενισθήσῃ. δείπνου.] τοῦ κατὰ τὴν ἡμέραν ἀρίστου. μυθήσεαι.] εἰς λόγους ἥξεις καὶ λέξεις. ὅττεό σε χρή.] ὅ τινός σοι χρεία ἐστί. κίονα.] στῦλον. ἔντοσθεν.] ἔσωθεν. δουροδόκης.] δορατοθήκης. νοηθέον δὲ ἀπεξύσθαι τοὺς κίονας καὶ ἐνταῦθα ἀποτίθεσθαι τὰ δόρατα. ἐΰξόου.] καλῶς ἐξεσμένης. λῖτα.] λεπτὸν περιβόλαιον. πετάσσας.] ἁπλώσας. δαιδάλεον.] ποικίλον. θρῆνυς.] ὑποπόδιον. κλισμόν.] δίφρον ἀνάκλιτον ἔχοντα καθέδραν. θέτο.] ἀπέθετο. ἔκτοσθεν.] χωρίς, ἰδίᾳ, ἔξωθεν. ἀνιηθείς.] λυπηθείς. ὀρυμαγδῷ.] κυρίως μὲν τῷ

ἐν ὕδα

Δείπνῳ ἀδήσειεν ὑπερφιάλοισι μετελθών,
Ἠδ' ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα,
Καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος
Νίψασθαι, παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα.
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
Παντοίων, παρὰ δέ σφι τίθει χρύσεια κύπελλα.
Κῆρυξ δ' αὐτοῖσι θάμ' ἐπῴχετο οἰνοχοεύων,
Ἐς δ' ἦλθον μνηστῆρες ἀγήνορες. οἱ μὲν ἔπειτα
Ἑξείης ἕζοντο, κατὰ κλισμούς τε, θρόνους τε.
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.
Σῖτον δὲ δμωαὶ παρενήνεον ἐν κανέοισιν.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
Αὐτὰρ ἐπεὶ πόσιος, καὶ ἐδητύος ἐξ ἔρον ἕντο
Μνηστῆρες, τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μεμήλει.
Μολπή τ' ὀρχηστύς τε, τὰ γάρ τ' ἀναθήματα δαιτός.
Κῆρυξ δ' ἐν χερσὶ κίθαριν περικαλλέα θῆκε
Φημίῳ. ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.
Ἤτοι ὁ, φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.
Αὐτὰρ Τηλέμαχος προσέφη γλαυκῶπιν Ἀθήνην,
Ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι.
Ξεῖνε φίλ', ἦ καί μοι νεμεσήσεαι ὅ, ττι κεν εἴπω,
Τούτοισι μὲν ταῦτα μέλει, κίθαρις καὶ ἀοιδὴ
Ῥεῖ', ἐπεὶ ἀλλότριον βίοτον νήποινον ἔδουσιν
Ἀνέρος, οὗ δή που λεύκ' ὀστέα πύθεται ὄμβρῳ
Κείμεν' ἐπ' ἠπείρου, ἢ εἰν ἁλὶ κῦμα κυλίνδει,
Εἰ κεῖνόν γ' Ἰθάκην δὲ ἰδοίατο νοστήσαντα,
Πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι,
Ἢ ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε.
Νῦν δ' ὁ μὲν ὣς ἀπόλωλε κακὸν μόρον, οὐδέ τις ἡμῖν
Θαλπωρή. εἴ πέρ τις ἐπιχθονίων ἀνθρώπων
Φῆσιν ἐλεύσεσθαι, τοῦ δ' ὤλετο νόστιμον ἦμαρ.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον.
Τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
Ἤγαγον εἰς Ἰθάκην, τίνες ἔμμεναι εὐχετόωνται;

οὐ μὲν

ἐν ὕδει ψόφῳ. ἔστι γὰρ κατὰ τὸ ἔτυμον ὀρυμαγδῷ. νῦν δὲ ἀντὶ τοῦ θορύβῳ. ἀδήσειεν.] ἀηδῶς διατεθείη. ὑπερφιάλοισι.] ὑπερηφάνοις, ὑπερσπόνδοις. μετελθών.] συνελθών. ἀποιχομένοιο.] ἀπόντος, ἀποδημοῦντος. ἔροιτο.] ἐρωτήσειε, πύθοιτο. χέρνιβα.] τὰ ἐπὶ τῶν χειρῶν ὕδατα. ἀμφίπολος.] θεράπαινα, ἀπὸ τοῦ περὶ τὴν δέσποιναν πολεῖσθαι, ὅπερ ἐστὶν ἀναστρέφεσθαι. προχόῳ.] ἀγγείῳ προχυτικῷ, ἀπὸ τοῦ χέειν τὸ ὕδωρ, τῷ καθ' ἡμᾶς ξέστῃ. ἐπέχευε.] ἐπέβαλλεν. λέβητος.] τοῦ καθ' ἡμᾶς χερνίβου. ξεστήν.] τὴν καλῶς ἐξεσμένην, καὶ κατεσκευασμένην. ἐτάνυσσε.] ἐξέτεινε, παρέθηκε. ταμίη.] ταμιοῦχος φύλαξ. αἰδοίη.] αἰδοῦς ἀξία, τιμία. ἤδατα.] βρώματα, ἐδέσματα. χαριζομένη παρεόντων.] ἐκ τῶν παρόντων ἐπιδιδοῦσα. δαιτρός.] μάγειρος, ὁ διανέμων τὰ κρέα. παρὰ δέ σφι.] παρ' αὐτοῖς δέ. θάμ' ἐπῴχετο.] τὸ σπουδαῖον τοῦ κήρυκος δηλοῖ. θάμα.] πυκνῶς, συνεχῶς. ἐπῴχετο.] ἀπορεύετο. οἰνοχοεύων.] οἰνοχοῶν, κιρνῶν. ἀγήνορες.] ἄγαν ἀνθάδεις. ἕζοντο.] ἐκαθέσθησαν. τοῖον.] τοιοῦτον. κλισμούς.] δίφρους, καθέδρας. ἔχευαν.] ἐπέβαλλον. παρενήνεον.] παρεσώρευον. ἐκ τούτου δὲ τὸ πλῆθος τῶν ἐδεσμάτων ἐμφαίνει. κανέοισι.] κανισκίοις. ὀνείατα.] τὰ ὄνησιν ἐμποιοῦντα ἐδέσματα. ἴαλλον.] ἐδίδοσαν, ἐξέτειναν. νώμησαν.] ἐμέρισαν. αὐτὰρ ἐπεί.] ἐπειδὴ δέ. πόσιος.] βρώσεως. ἐξ ἔρον ἕντο.] ἐπλήρωσαν τὴν ἐπιθυμίαν. τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μεμήλει.] πιθανῶς ἵνα ὁ Τηλέμαχος καιρὸν σχῇ. μεμήλει.] ἔμελλεν. μολπή.] ἡ μετ' ᾠδῆς παιδία, ἡ ᾠδή. ὀρχηστύς.] ὄρχησις. ἀναθήματα δαιτός.] τῆς εὐωχίας τὸ κόσμημα, ἡ μεταφορὰ ἀπὸ τῶν τοῖς θεοῖς ἀνατεθεμένων. κίθαριν.] κιθάραν. περικαλλέα.] ἄγαν ἐκπρεπῆ. ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.] προαναφώνησις ἵνα ὁ Φήμιος σωθῇ ἐν τῇ μνηστηροφονίᾳ. ἤειδεν.] ᾖδεν. φορμίζων.] κιθαρίζων. ἀνεβάλλετο.] ἀνεκρούετο, προοιμιάζετο. πευθοίατο.] ἀκούσειαν. ἄγχι σχών.] ἐγγὺς προσενεγκών. ὅτι κεν.] ὅπερ ἄν. νεμεσήσεαι.] μέμψῃ. ἀοιδή.] ᾠδή. ῥεῖ' ἐπεὶ ἀλλότριον.] τὸ ἑξῆς ἐπεὶ ῥεῖ' ἀλλότριον βίοτον.] περιουσίαν. νήποινον.] ἀτιμώρητον, ἀνεκδίκητον. ἔδουσιν.] ἐσθίουσιν. οὗ.] οὕτινος. πύθεται.] σήπεται. ἐπ' ἠπείροιο.] ἐπὶ τῆς γῆς. ἐν ἁλί.] ἐν τῇ θαλάσσῃ. κυλίνδει.] κυλίει. ἰδοίατο.] θεάσαιντο, ἴδοιεν. ἀρησαίατο.] εὔξαιντο. ἀφνειότεροι.] πλουσιώτεροι. ὥς.] οὕτως ὡς ἔχει. ἀπόλωλε.] ἀπώλετο, ἀπέθανεν. θαλπωρή.] ἐλπίς, σωτηρία, ἀσφάλεια, σκέπη. φῆσιν.] φάῃ, εἴπῃ. ἐλεύσεσθαι.] ἐλθεῖν. ὤλετο.] ἀπώλετο. εἰς.] ὑπάρχεις. νόστιμον ἦμαρ.] ἡ εἰς τὰ οἰκεῖα ἐπάνοδος. πόθι.] ποῦ. τοκῆες.] γονεῖς. ὁπποίης.] ὁποίας. νηός.] νεώς, πλοίου. ἀφίκεο.] παρεγένου. εὐχετόωντο.] ἐκαυχῶντο.

Οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.
Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ.
Ἠὲ νέον μεθέπεις, ἦ καὶ πατρώϊός ἐσσι
Ξεῖνος. ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ
Ἄλλοι, ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω,
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
Υἱός. ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
Νῦν δ' ὧδε ξὺν νηῒ κατήλυθον ἠδ' ἑτάροισι,
Πλέων ἐπὶ οἴνοπα πόντον ἐπ' ἀλλοθρόους ἀνθρώπους,
Ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ' αἴθωνα σίδηρον.
Νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος,
Ἐν λιμένι Ῥείθρῳ ὑπὸ Νηΐῳ ὑλήεντι.
Ξεῖνοι δ' ἀλλήλων πατρώϊοι εὐχόμεθ' εἶναι
Ἐξ ἀρχῆς, εἴπερ τε γέροντ' εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα. τὸν οὐκέτι φασὶ πόλινδε
Ἔρχεσθ', ἀλλ' ἀπάνευθεν ἐπ' ἀγροῦ πήματα πάσχειν,
Γρηῒ σὺν ἀμφιπόλῳ. ἥ οἱ βρῶσίν τε, πόσιν τε
Παρτιθεῖ. εὖτ' ἄν μιν κάματος κατὰ γυῖα λάβῃσι,
Ἑρπύζοντ' ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
Νῦν δ' ἦλθον, δὴ γάρ μιν ἔφαντ' ἐπιδήμιον εἶναι
Σὸν πατέρ'. ἀλλά νυ τόν γε θεοὶ βλάπτουσι κελεύθου.
Οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,
Ἀλλ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ,
Νήσῳ ἐν ἀμφιρύτῃ, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν
Ἄγριοι, οἵπου κεῖνον ἐρυκανόωσ' ἀέκοντα.
Αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
Ἀθάνατοι βάλλουσι, καὶ ὡς τελέεσθαι ὀΐω.
Οὔτι τι μάντις ἐών, οὔτ' οἰωνῶν σάφα εἰδώς.
Οὔτοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
Ἔσσεται. οὐδ' εἴπερ τε σιδήρεα δέσματ' ἔχῃσι,
Φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
Ἀλλ' ἄγε μοι τόδε εἰπέ, καὶ ἀτρεκέως κατάλεξον.
Εἰ δὴ ἐξ αὐτοῖο τόσος πάϊς εἰς Ὀδυσῆος.
Αἰνῶς γὰρ κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
Κείνῳ, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ' ἀλλήλοισι,
Πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθα περ ἄλλοι
Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐνὶ νηυσίν.
Ἐκ τοῦ δ' οὔτ' Ὀδυσῆα ἐγὼν ἴδον, οὔτ' ἐμὲ κεῖνος.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
Τοιγὰρ ἐγώ τοι ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύω,
Μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε

Οὐκ

οὐ μὲν γάρ τι πεζόν.] πεζὸν μὲν γάρ σε ἀδύνατον ἐλθεῖν. ἀγόρευσον.] εἰπέ. ἐτήτυμον.] ἀληθές. εὖ εἰδῶ.] ἀσφαλῶς γνῶ. ἢ νέον μεθέπεις.] ἢ νεωστὶ πρὸς ὑμᾶς ἔρχῃ. μεθέπεις.] μετέρχῃ. ἐλήλυθας. ἴσαν.] ἐπίσταντα. δῶ.] δῶμα, οἴκημα. ἐπίστροφος ἦν ἀνθρώπων.] ἐπιστροφὴν καὶ ἐπιμέλειαν ἐποιεῖτο τῶν ἀνθρώπων. ἢ οὗ λόγον ἐποιοῦντο πάντες ἄνθρωποι. ἢ ἐπερχόμενος καὶ ἐπιδημῶν. ἐπιστροφός.] συναναστρεφόμενος. φιληρέτμοισι.] ναυτικοῖς. ὧδε.] οὐδέ ποτε κεῖται παρὰ τῷ ποιητῇ τὸ ὧδε τοπικόν, ἀλλὰ ἀντὶ τοῦ οὕτως. οἴνοπα πόντον.] μέλανα πόντον. ἀλλοθρόους.] ἀλλοδαπούς. ξένους, βαρβάρους. Τεμέσην.] Τεμέση πόλις Κύπρου. κατὰ δὲ τινας Ἰταλίας, ἣν νῦν Βρεντίσιον καλοῦσι. νηῦς.] ναῦς. ἥδε.] αὕτη. μετὰ χαλκόν.] διὰ χαλκόν. ἄγω.] κομίζω. αἴθωνα.] μέλανα, ἀντὶ τοῦ ἀνέργαστον ἢ λαμπρὸν ἀπὸ τοῦ αἴθοντος πυρός. νηῦς δέ μοι ἥδ' ἕστηκεν.] τὸ ἥ δὲ ἀναφορικῶς εἴρηκεν, ἀντὶ τοῦ δεικτικῶς. ἐν λιμένι Ῥείθρῳ.] ὄνομα τοῦ ἐν Ἰθάκῃ λιμένος τὸ Ῥεῖθρον. ἀπὸ τοῦ συμβεβηκότος. ἐπειδὴ εἴρηται ἐκεῖ. ἢ ἀπὸ τοῦ συρρεῖν εἰς αὐτὸν χειμάρρους πολλοὺς ἀπὸ τοῦ Νηΐου ὄρους. Νηΐῳ.] τῷ πρὸς ὑπολοχὴν νεῶν εὐθέτῳ ὄρει τῆς Ἰθάκης. ὑλήεντι.] ὑλώδει. εἴρηαι.] ἐρωτήσειας. ἀπάνευθεν.] ἄποθεν. μακράν. παρτιθεῖ.] παρατίθει. πήματα.] κακά. γρηΐ.] γραΐ. βρῶσιν.] τροφήν. πόσιν.] ποτόν. εὖτ' ἄν μιν.] ὁπότ' ἂν αὐτόν. ἑρπύζοντα.] μετὰ ὀδύνης καὶ ἀνίας ἠρέμα βαδίζοντα διὰ τὸ γῆρας. γουνόν.] τὸ γονιμώτατον καὶ κάλλιστον. ἀλωῆς.] ἀμπελοφύτου γῆς. οἰνοπέδοιο.] οἰνοφόρου. ἔφαντο.] ἔλεγον. ἐπιδήμιον.] ἐπιδημοῦντα. μεθήκες.] μετέρχῃ, ἐλήλυθας. βλάπτουσιν.] ἐμποδίζουσιν. ζωός.] ζῶν. κατερύκεται.] κατέχεται, κωλύεται. εὐρέϊ.] πλατεῖ, μεγάλῳ. ἐν ἀμφιρύτῃ.] τῇ ὑπὸ θαλάσσης περιεχομένῃ. ἐρυκανόωσι.] ἐπέχουσι, κωλύουσιν. ἀέκοντα.] ἄκοντα καὶ μὴ βουλόμενον. οὔτι τι.] οὐδαμῶς. οἰωνῶν σάφα εἰδώς.] ὀρνεοσκοπίας ἔμπειρος ἢ οἰωνιστὴς ὤν. δέσματα.] δεσμοί. ἐστέον δὲ Ἀττικοῖς τὰ ἀρσενικὰ οὐδετέρως λέγειν. ἀπὸ τοῦ δέω δέσματα. καὶ ἀπὸ τοῦ ξέω ξέσματα. ἔχησι.] κατέχῃ, φυλάσσει. φράσσεται.] διανοηθήσεται. νέηται.] ἀνακομισθῇ. πολυμήχανος.] πολύβουλος, συνετός. αὐτοῖο.] αὐτοῦ. αἰνῶς.] νῦν ἀντὶ τοῦ λίαν. ἔοικας.] ὅμοιος εἶ. θαμὰ τοῖον.] συχνῶς. οὕτως καὶ νῦν ὑμᾶς. ἐμισγόμεθα.] ἐμιγνύμεθα. πεπνυμένος.] σεσοφισμένος. πεπαιδευμένος.] συνετὸς εἶ.

ἐτεόν.]

οὐκ οἶδ᾽· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.
Ὡς δὴ ἔγωγ᾽ ὄφελον μάκαρος νύ τευ ἔμμεναι υἱὸς
Ἀνέρος, ὃν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτετμε.
Νῦν δ᾽ ὃς ἀποτμότατος γένετο θνητῶν ἀνθρώπων,
Τοῦ μ᾽ ἔκ φασι γενέσθαι, ἐπεὶ σύ με τοῦτ᾽ ἐρεείνεις.
Τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Οὐ μέν τοι γενεήν γε θεοὶ νώνυμον ὀπίσσω
Θῆκαν, ἐπεὶ σέ γε τοῖον ἐγείνατο Πηνελόπεια.
Ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Τίς δαίς, τίς δὲ ὅμιλος ὅδ᾽ ἔπλετο, τίπτε δέ σε χρεώ
Εἰλαπίνη, ἠὲ γάμος, ἐπεὶ οὐκ ἔρανος τάδε γ᾽ ἐστίν.
Ὥς τέ μοι ὑβρίζοντες ὑπερφιάλως δοκέουσι
Δαίνυσθαι κατὰ δῶμα, νεμεσσήσαιτό κεν ἀνὴρ
Αἴσχεα πόλλ᾽ ὁρόων, ὅς τις πινυτός γε μετέλθοι.
Τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
Ξεῖν᾽ ἐπεὶ ἂρ δὴ ταῦτά μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς,
Μέλλεν μέν ποτε οἶκος ὅδ᾽ ἀφνειὸς καὶ ἀμύμων
Ἔμμεναι, ὄφρ᾽ ἔτι κεῖνος ἀνὴρ ἐπιδήμιος ἦεν.
Νῦν δ᾽ ἑτέρως ἐβόλοντο θεοὶ κακὰ μητιόωντες.
Οἳ κεῖνον μὲν ἄιστον ἐποίησαν περὶ πάντων
Ἀνθρώπων, ἐπεὶ οὔ κε θανόντι περ ὧδ᾽ ἀκαχοίμην,
Εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ.
Ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσε,
Τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοὶ,
Ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ᾽ ὀπίσσω.
Νῦν δέ μιν ἀκλειῶς, ἅρπυιαι ἀνηρέψαντο.
Οἴχετ᾽ ἄιστος, ἄπυστος, ἐμοὶ δ᾽ ὀδύνας τε γόους τε
Κάλλιπεν. οὐδ᾽ ἔτι κεῖνον ὀδυρόμενος στεναχίζω
Οἶον, ἐπεί νύ μοι ἄλλα θεοὶ κακὰ κήδε᾽ ἔτευξαν.
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
Ἠδ᾽ ὅσσοι κραναὴν Ἰθάκην κατακοιρανέουσι,
Τόσσοι μητέρ᾽ ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
Ἡ δ᾽ οὔτ᾽ ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
Ποιῆσαι δύναται. τοὶ δὲ φθινύθουσιν ἔδοντες
Οἶκον ἐμόν, τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
Τὸν δ᾽ ἐπαλαστήσασα προσηύδα Παλλὰς Ἀθήνη.
Ὢ πόποι, ἦ δὴ πολλὸν ἀποιχομένου Ὀδυσῆος
Δεύῃ † ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη. † δεύει

Εἰ γὰρ

ἐκ τοῦ.] ἐξ ἐκείνου τοῦ χρόνου. γόνον.] γεννήτορα. ἀνέγνω.] ἐπέγνω. ὄφελον.] ὤφειλον. νύ τευ.] δή τινος. κτεάτεσσι.] κτήμασι. ἑοῖς ἐπί.] ἐπὶ τοῖς ἰδίοις. ἔτετμε.] κατέλαβε. ἀποτμότατος.] δυστυχέστατος. ἐρεείνεις.] ἐρωτᾷς, πυνθάνῃ. νώνυμον.] ἀνώνυμον, ἄδοξον. δαίς.] εὐωχία. ὅμιλος.] ἄθροισμα, πλῆθος. ἔπλετο.] ὑπάρχει. χρεώ.] χρεία. εἰλαπίνη.] ἡ μεγάλη εὐωχία. ἐν ᾗ κατὰ εἴλας καὶ συστροφὰς εὐωχοῦνται. ἐπεὶ οὐκ ἔρανος.] ὡς τοῦ ἐράνου κοσμιωτέρου καὶ εὐτελεστέρου ὄντος, καὶ εἰκότως. ὁ μὲν γὰρ γάμος καὶ αἱ λοιπαὶ εὐωχίαι, φιλίᾳ τινὶ γίνονται. ὁ δὲ ἔρανος ὡς ἕκαστος τι κομίσειεν. ἔρανος.] τὸ ἀπὸ συμβολῆς δεῖπνον. δοκέουσι.] δοκοῦσι, φαίνονται. νεμεσσήσαιτο.] μεμπτὸν ἡγήσαιτο. αἴσχεα.] αἰσχύνας. πινυτός.] σώφρων, συνετός. ἀνείρεαι.] ἀνερωτᾷς. μεταλλᾷς.] ἐπιζητεῖς. μετέλθοι.] ἐπέλθοι. μέλλεν.] ὤφειλεν. αὕτη ἡ λέξις οὐδέποτε κεῖται παρὰ τῷ Ποιητῇ ὡς ἐν τῇ συνηθείᾳ χρονικῶς, ἀλλ᾽ ἑκάστοτε, ἀντὶ τοῦ ἐῴκει. μεταλλᾷς.] ἐπιζητεῖς, ἐρωτᾷς. ἐπιδήμιος.] ἐπιδημῶν, παρών. ἑτέρως.] ἄλλως. ἐβούλοντο.] ἐβούλοντο, ἤθελον. μητιόωντες.] βουλευόμενοι. ἄιστον.] ἀνιστόρητον, ἀφανῆ. ἀκαχοίμην.] λυποίμην. δάμη.] ἐδαμάσθη, ἀνῃρέθη. τολύπευσε.] κατειργάσατο. μεταφορικῶς. καὶ γὰρ τὴν τῶν ἐρίων τῶν ἤδη κατειργασμένων εἴλησιν, τολύπην λέγομεν. τύμβον.] τάφον. ᾧ.] ἰδίῳ. ἤρατο.] περιεποιήσατο. ἀνηνέγκατο. ἀκλειῶς.] ἀδόξως. ἅρπυιαι.] δαίμονες. ἢ ἄνεμοι ἁρπακτικοί. ἀνηρείψαντο.] ἀνήρπασαν. ἄιστος.] ἀνιστόρητος, ἀφανής. ἄπυστος.] ἀνήκουστος. ὀδύνας.] λύπας. κάλλιπεν.] κατέλιπεν. γόους.] θρήνους. στεναχίζω.] στενάζω. ἐπεὶ νύ μοι.] ἐπειδή μοι. ἔτευξαν.] κατεσκεύασαν. ἐπικρατέουσι.] κρατοῦσιν, ἄρχουσι. Δουλιχίῳ.] νήσῳ κατὰ τὴν Κεφαληνίαν. Ζακύνθῳ.] νήσῳ καὶ αὐτῇ τῆς Κεφαληνίας. Σάμῃ.] τὴν Σάμον Σάμην ἀπεῖπε· ἔστι γὰρ αὕτη κατὰ τὴν Κεφαληνίαν. κραναήν.] τραχεῖαν. κοιρανέουσι.] βασιλεύουσι. μνῶνται.] μνηστεύονται. τρύχουσι.] καταδαπανῶσι. στυγερόν.] μισητόν, φοβερόν. τελευτήν] τέλος, τελείωσιν. φθινύθουσι.] φθείρουσιν, ἐλαττοῦσι. ἔδοντες.] ἐσθίοντες. τάχα.] αὕτη ἡ λέξις οὐ τίθεται παρὰ τῷ Ποιητῇ διστακτικῶς, ὡς ἐν τῇ συνηθείᾳ, ἀλλ᾽ ἑκάστοτε ἀντὶ τοῦ ταχέως. διαρραίσουσι.] διαφθείρουσι. ἐπαλαστήσασα.] ἐπὶ τοῖς λεχθεῖσιν ὡς ἀλάστοις καὶ δεινοῖς οὖσι δεινοπαθήσασα. ἐὰν δὲ ᾖ χωρὶς τοῦ ε, παλαστήσασα ἔσται τῷ παλαστῇ, ὅ ἐστι τῷ ἀγκῶνι τῆς χειρὸς νύξασα. ἦ δή.] ἀληθῶς δή. Παλλάς.] ἐπιθετικῶς ἡ Ἀθηνᾶ. ἀπὸ τοῦ πάλλειν τὸ δόρυ. ἢ ὅτι Πάλλαντα ἀνεῖλεν ἕνα τῶν γιγάντων. πολλὸν ἀποιχομένου.] ἐπὶ πολὺ ἀποδημοῦντος. ἢ πολλὸν δεύει, ἐπὶ πολὺ λείπει τούτους τιμωρίαν ὑποσχεῖν. δεύει.] ἐνδεῖ, λείπει. ὅ κε.] ὅς τις δή, ὅς τις ἄν. ἐφείη.] ἐπιβάλλει.

εἰ γάρ

ἀ γάρ.] εἴθε γάρ. δόμου.] οἴκου. ἐν πρώτῃσι θύρῃσι.] ἐν αὐταῖς ταῖς πρώταις θύραις. σταίη.] στῇ. πήληκα.] περικεφαλαίαν. δοῦρε.] δόρατα, δυϊκῶς. ἐνόησα.] ἐθεασάμην. οἴκῳ ἐν ἡμετέρῳ πίνοντα.] τὸν ἀγαθὸν πᾶς δείκνυσι καιρὸς οἷος ἂν ᾖ ἐν τοῖς ἔργοις. Ἐφύρης.] πόλεως Θεσπρωτίας, Ἔφυραι δὲ πέντε εἰσίν, ἥτε Θεσπρωτική, ἡ νῦν Κόρινθος, καὶ ἡ τρίτη Ἤλιδος. ἀνιόντα.] ἀνερχόμενον. Μερμερίδαο.] Μερμέρου παιδός. ἀνδροφόνοιο.] ἄνδρας φονεύοντος. διζήμενος.] ζητῶν. οἱ.] αὐτῷ. ᾤχετο.] ἀπῆλθε. θοῆς.] ταχείας. ἰοὺς χρίεσθαι.] προπαρασκευάσειν ἵνα μὴ ζητῶμεν πῶς ἀπὸ μιᾶς πληγῆς ἀναιροῦνται οἱ μνηστῆρες.

ἰούς.] βέλη. χαλκήρεας.] χαλκῷ ἡρμοσμένους. νεμεσίζετο.] ἐσέβετο, ἐντρέπετο. φιλέεσκε γὰρ αἰνῶς.] ἢ δῆλον ὅτι κατ' ἐχθρῶν τήσεται [?]. ὁμιλήσειεν.] συναναστραφῇ. γενοίατο.] γίνοιντο. θεῶν ἐν γούνασι κεῖται.] ἐν τῇ τῶν θεῶν ἐξουσίᾳ ἐστί. πικρόγαμοι.] ἐπὶ κακῷ τῷ ἑαυτῶν γάμον τὸν μνηστευσόμενοι. ἀποτίσεται.] τιμωρίαν ἐσπράξεται. ἄνωγα.] κελεύω. ἀπώσεαι.] ἀποθήσεις, ἐκβαλεῖς. μεγάροιο.] τῆς οἰκίας τῆς οἰκείας. ξυνίει.] νόησον, ἄκουσον. ἐμπάζεο.] ἐπιστρέφου, ἀντιποιοῦ, φρόντιζε. πέφραδε.] εἰπέ. ἔστων.] ἔστωσαν, ὑπαρχέτωσαν. σφέτερα.] τὰ ἴδια. σκίδνασθαι.] σκορπίζεσθαι. ἄνωχθι.] κέλευε. μητέρα.] τῇ ἀρχαίᾳ συνηθείᾳ ἐγέγραπτο μητέρ ἀντὶ τοῦ μήτηρ. τοῦτο ἀγνοήσας τις προσέθηκε τὸ α. ἢ εἰκτέον μητέρα δὲ ὑποκειμένους τὸν λιασκεπτόμενον [?]. ἄψ.] ἐπίρρημα συντακτικόν. πάλιν.] εἰς τοὐπίσω, καὶ ἐκ δευτέρου. ἐφορμᾶται.] ἐπιθυμεῖ, προαιρεῖται. γαμέεσθαι.] γαμηθῆναι. ἴτω.] ἀπίτω, ἀπερχέσθω, πορευέσθω. μέγα δυναμένοιο.] μέγα ἰσχύοντος ἐν τῷ ἐκδοῦναι. τεύξουσι.] ποιήσουσι, κατασκευάσουσι. ἀρτυνέουσιν.] ἑτοιμάσουσιν. ἔεδνα.] δῶρα τὰ διδόμενα ὑπὸ τοῦ γαμοῦντος τῇ γαμουμένῃ. ἔοικε.] προσήκει, πρέπει. ἕπεσθαι.] ἀκολουθεῖν. πυκινῶς.] πυκνῶς, συνετῶς. ὑποθήσομαι.] συμβουλεύσω. πίθηαι.] πεισθῇς. ἄρσας.] ἁρμόσας, εὐτρεπίσας. ἐρέτῃσι.] ἐρέταις, κωπηλάταις. ἐείκοσιν.] εἴκοσιν. ἔρχεο.] ἀπέρχου. πευσόμενος.] ἀκουσόμενος. οἰχομένοιο.] ἀπολειμμένου [?]. ἤν τις.] ἐάν τις. ἥ τε μάλιστα φέρει.] κληδόνα ἢ φήμην περὶ ἀγνοουμένων. κλέος.] νῦν κληδόνα τουτέστι κλέος καὶ δόξαν. πρῶτα μὲν ἐς Πύλον.] πέμπει αὐτὸν

Εἰ γὰρ νῦν ἐλθὼν δόμου ἐν πρώτῃσι θύρῃσι
Σταίη, ἔχων πήληκα, καὶ ἀσπίδα, καὶ δύο δοῦρε,
Τοῖος ἐὼν οἷόν μιν ἐγὼ τὰ πρῶτ' ἐνόησα
Οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε, τερπόμενόν τε,
Ἐξ Ἐφύρης ἀνιόντα παρ' Ἴλου Μερμερίδαο,
Ὤιχετο γὰρ κακεῖσε θοῆς ἐπὶ νηὸς Ὀδυσσεύς,
Φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
Ἰοὺς χρίεσθαι χαλκήρεας. ἀλλ' ὁ μὲν οὔ οἱ
Δῶκεν, ἐπεί ῥα θεοὺς νεμεσίζετο αἰὲν ἐόντας.
Ἀλλὰ πατήρ οἱ δῶκεν ἐμός, φιλέεσκε γὰρ αἰνῶς,
Τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς,
Πάντες κ' ὠκύμοροί τε γενοίατο, πικρόγαμοί τε,
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
Ἤ κεν νοστήσας ἀποτίσεται, ἠὲ καὶ οὐκί,
Οἷσιν ἐνὶ μεγάροισι, σὲ δὲ φράζεσθαι ἄνωγα,
Ὅππως κεν μνηστῆρας ἀπώσεαι ἐκ μεγάροιο,
Εἰ δ' ἄγε νῦν ξυνίει, καὶ ἐμῶν ἐμπάζεο μύθων,
Αὔριον εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιούς,
Μῦθον πέφραδε πᾶσι. θεοὶ δ' ἐπὶ μάρτυροι ἔστων.
Μνηστῆρας μὲν, ἐπὶ σφέτερα σκίδνασθαι ἄνωχθι.
Μητέρα δ' εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι
Ἂψ ἴτω ἐς μέγαρον πατρὸς μέγα δυναμένοιο.
Οἱ δὲ γάμον τεύξουσι, καὶ ἀρτυνέουσιν ἔεδνα
Πολλὰ μάλ', ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
Σοὶ δ' αὐτῷ πυκινῶς ὑποθήσομαι αἴ κε πίθηαι,
Νῆ' ἄρσας ἐρέτῃσιν ἐείκοσιν ἥτις ἀρίστη,
Ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο,
Ἤν τίς τοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσῃς
Ἐκ Διός, ἥτε μάλιστα φέρει κλέος ἀνθρώποισι.
Πρῶτα μὲν ἐς Πύλον ἐλθὲ, καὶ εἴρεο Νέστορα δῖον,
Κεῖθεν δὲ Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον.
Ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.
Εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσῃς,
Ἦτ' ἂν τρυχόμενός περ ἔτι τλαίης ἐνιαυτόν.
Εἰ δέ κε τεθνειῶτος ἀκούσῃς, μηδ' ἔτ' ἐόντος,
Νοστήσας δ' ἤπειτα φίλην ἐς πατρίδα γαῖαν,
Σῆμά τέ οἱ χεῦαι, καὶ ἐπὶ κτέρεα κτερεΐξαι
Πολλὰ μάλ', ὅσσα ἔοικε, καὶ ἀνέρι μητέρα δοῦναι.
Αὐτὰρ

τὸν παιδευθησόμενον, καὶ ἅμα ἔνδοξον ἐσόμενον, ἐπεὶ διὰ πατέρα ἀπεδήμησεν. εἴρεο.] ἐρώτησον. κεῖθεν.] ἐκεῖθεν. ὃς γάρ.] οὗτος γάρ. ξανθόν.] πυρρόν. δεύτατος.] ἔσχατος. βίοτον.] βίον, ζωήν. ἦτ' ἄν.] καίπερ. τρυχόμενος.] κακοπονούμενος. τλαίης.] καρτερήσειας, ὑπομένειας. τεθνειῶτος.] τελευτηκότος, ἀποθανόντος. σῆμα.] τάφον. χεῦαι.] χῶσαι, ἀντὶ τοῦ χῶσον. κτερεΐξαι.] ἐνταφιάσαι.

κτέρεα.]

Αὐτὰρ ἐπὴν δὴ ταῦτα τελευτήσῃς τε καὶ ἔρξῃς,
φράζεσθαι δ' ἤπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
ὅππως κε μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι
κτείνῃς, ἠὲ δόλῳ, ἢ ἀμφαδόν. οὐδέ τι σε χρὴ
νηπιάας ὀχέειν, ἐπεὶ οὐκ ἔτι τηλίκος ἐσσί.
ἢ οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα
Αἴγισθον δολόμητιν, ὅς οἱ πατέρα κλυτὸν ἔκτα;
καὶ σὺ φίλος, μάλα γάρ σ' ὁρόω καλόν τε, μέγαν τε,
ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
Αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη,
ἠδ' ἑτάρους, οἵ πού με μάλ' ἀσχαλόωσι μένοντες.
σοὶ δ' αὐτῷ μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
ξεῖν', ἤτοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις,
ὥστε πατὴρ ᾧ παιδί, καὶ οὔποτε λήσομαι αὐτῶν.
ἀλλ' ἄγε νῦν ἐπίμεινον ἐπειγόμενός περ ὁδοῖο,
ὄφρα λοεσσάμενός τε, τεταρπόμενός τε φίλον κῆρ,
δῶρον ἔχων ἐπὶ νῆα κίῃς χαίρων ἐνὶ θυμῷ,
τιμῆεν μάλα καλόν, ὅ τοι κειμήλιον ἔσται
ἐξ ἐμεῦ, οἷα φίλοι ξεῖνοι ξείνοισι διδοῦσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη,
μή μ' ἔτι νῦν κατέρυκε λιλαιόμενόν περ ὁδοῖο.
δῶρον δ' ὅττι κέ μοι δοῦναι φίλον ἦτορ ἀνώγει,
αὖθις ἀνερχομένῳ δόμεναι οἶκόνδε φέρεσθαι,
καὶ μάλα καλὸν ἑλών. σοὶ δ' ἄξιον ἔσται ἀμοιβῆς.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη.
ὄρνις δ' ὣς ἀνόπαια διέπτατο, τῷ δ' ἐνὶ θυμῷ
θῆκε μένος καὶ θάρσος, ὑπέμνησέν τέ ἑ πατρός,
μᾶλλον ἔτ', ἢ τὸ πάροιθεν, ὁ δὲ φρεσὶν ᾗσι νοήσας,
θάμβησεν κατὰ θυμόν. ὀΐσατο γὰρ θεὸν εἶναι.
Αὐτίκα δὲ μνηστῆρας ἐπῴχετο ἰσόθεος φώς.
τοῖσι δ' ἀοιδὸς ἄειδε περικλυτός, οἱ δὲ σιωπῇ
εἵατ' ἀκούοντες, ὁ δ' Ἀχαιῶν νόστον ἄειδε
λυγρόν, ὃν ἐκ Τροίης ἐπετείλατο Παλλὰς Ἀθήνη.
τοῦ δ' ὑπερωϊόθεν φρεσὶ σύνθετο θέσπιν ἀοιδὴν
κούρη Ἰκαρίοιο περίφρων Πηνελόπεια.
κλίμακα δ' ὑψηλὴν κατεβήσετο οἷο δόμοιο
οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο.
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,

Αντα

κτέρεα.] ἐντάφια. δοῦναι.] ἀντὶ τοῦ δός. αὐτὰρ ἐπήν.] ἐπειδὴ ἄν. τελευτήσῃς.] τελειώσῃς, πληρώσῃς. ἔρξῃς.] πράξῃς. τεοῖς.] σοῖς. ἀμφαδόν.] φανερόν. νηπιάας ὀχέειν.] τὰ νέων φρονεῖν καὶ φέρειν. ἢ ὀχεῖσθαι ὑπὸ νεότητος. τουτέστιν ἄφρονα εἶναι. τηλίκος.] τηλικοῦτος μικρός. ἀντὶ τοῦ πάνυ νέος. ἐσσί.] ὑπάρχεις. ἀΐεις.] ἀκούεις, αἰσθάνῃ. πατροφονῆα.] τὸν τοῦ πατρὸς φονέα. δολόμητιν.] δόλια βουλευόμενον. ἔκτα.] ἀπέκτεινεν. ὀψιγόνων.] μεταγενεστέρων. ἔσσο.] γενοῦ. κατελεύσομαι.] κατέρχομαι. ἀσχαλόωσι.] δυσανασχετῶς ἔχουσι. δυσχεραίνουσι. φίλα φρονέων.] φιλοφρονούμενος. μελέτω.] ἐν ἐπιμελείᾳ ἔστω. ἐμπάζεο.] ἐπιστρέφου. ποίει καὶ σέβου. λήσομαι.] ἐπιλάθωμαι. ἐπειγόμενος.] σπεύδων. λοεσσάμενος.] λουσάμενος. τεταρπόμενος.] τερφθείς. κίῃς.] πορευθῇς. τιμῆεν.] τίμιον. κειμήλιον] ἀπόθετον χρῆμα. κατέρυκε.] κάτεχε, κώλυε. ἀνώγει.] βούλεται, προστάσσει. αὖτις ἀνερχομένῳ.] ὑποστρέφοντι ἐκ τῆς Ἰταλίας. φέρεσθαι.] ἀποφέρειν. ἡ μὲν ἄρα.] αὕτη μέν. ἀμοιβῆς.] χάριτος. ἄξιον ἔσται ἀμοιβῆς.] ἀξίως ἀμείψασθαι. ἢ τοὐναντίον. παρ' ἐμοῦ καλὸν δῶρον λάβοις ἄν, ὥστε ἄξιον ἀμοιβῆς γενέσθαι. καὶ γὰρ οἱ ξενισθέντες ἐδίδοσαν δῶρα, Βελλεροφόντης δὲ χρυσοῦν ποτήριον. ἀπέβη.] ἀπῆλθεν. ἡ μέν.] αὕτη μέν. ὄρνις δ' ὥς.] καθάπερ δὲ ὄρνις. ἀνόπαια.] εἶδος ὀρνέου. ἢ διὰ τῆς ὀπῆς, ἢ ἀόρατος. διὰ τὸ ὡς ὄρνις ταχέως ἑρμηνεῦσαι. καὶ Ἀρίσταρχος δὲ φησὶν ὄνομα ὀρνέου. ἢ ἀνόπαια ὡς φήνη εἰδομένη. ἔνιοι δὲ ἀνὰ τοὺς ὦπας, ὅ ἐστι τοὺς ὀφθαλμούς. θάμβησεν.] ἐξεπλάγη. ἐθαύμασεν. διέπτατο.] διέπτη. ὑπέμνησεν.] ὑπομνησθῆναι ἐποίησεν. ὀΐσατο.] ὑπενόησεν. ἰσόθεος.] ὅμοιος θεῷ κατὰ ἀρετήν. φώς.] ὁ ἀνήρ. ἀοιδός.] ὁ Φήμιος δηλονότι. ἐπῴχετο.] ἐπορεύετο. ἄειδεν.] ᾖδε. περικλυτός.] περίδοξος, ἔνδοξος. εἵατο.] ἐκαθέζοντο. λυγρόν.] χαλεπόν. ἐπετείλατο.] προσέταξε. ὑπερωϊόθεν.] ἐκ τοῦ ἀνωγέου οἴκου. ἐκ τοῦ ὑπερῴου. σύνθετο.] συνῆκεν. ἢ ἤκουσεν. θέσπιν.] θείαν. θαυμαστήν. πύκα ποιητοῖο.] τοῦ ἐπιμελῶς κατεσκευασμένου. κατεβήσετο.] κατῆλθεν. ἀφίκετο.] παρεγένετο. Ἰκαρίοιο.] Πηνελόπης πατήρ. περίφρων.] συνετή. οἷο.] τοῦ ἑαυτοῦ. οἴη.] μόνη. δύ'.] τὸ πλῆρες δύο. σταθμόν.] παραστάδα. τέγεος.] καταγείου οἴκου. ἄντα.] ἔμπροσθεν.

ἄντα

Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα.
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε πάρεστη.
Δακρύσασα δ' ἔπειτα προσηύδα θεῖον ἀοιδόν.
Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας,
Ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί,
Τῶν ἕν γέ σφιν ἄειδε παρήμενος, οἱ δὲ σιωπῇ
Οἶνον πινόντων, ταύτης δ' ἀποπαύε' ἀοιδῆς
Λυγρῆς, ἥ τέ μοι αἰεὶ ἐνὶ στήθεσσι φίλον κῆρ
Τείρει, ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
Τοίην γὰρ κεφαλὴν ποθέω, μεμνημένη αἰεὶ
Ἀνδρός, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Μῆτερ ἐμή, τί τ' ἄρ' αὖ φθονέεις, ἐρίηρον ἀοιδὸν
Τέρπειν, ὅππῃ οἱ νόος ὄρνυται, οὔ νύ τ' ἀοιδοὶ
Αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος, ὅς τε δίδωσιν
Ἀνδράσιν ἀλφηστῇσιν, ὅπως ἐθέλῃσιν ἑκάστῳ,
Τούτῳ δ' οὐ νέμεσις, Δαναῶν κακὸν οἶτον ἀείδειν.
Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
Ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.
Σοὶ δ' ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν.
Οὐ γὰρ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ
Ἐν Τροίῃ, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο.
Ἀλλ' εἰς οἶκον ἰοῦσα, τὰ σαυτῆς ἔργα κόμιζε.
Ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Ἔργον ἐποίχεσθαι, μῦθος δ' ἄνδρεσσι μελήσει
Πᾶσι. μάλιστα δ' ἐμοί, τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ.
Ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει.
Παιδὸς γὰρ μῦθον πεπνυμένον, ἔνθετο θυμῷ.
Ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξί,
Κλαῖεν ἔπειτ' Ὀδυσῆα φίλον πόσιν, ὄφρα οἱ ὕπνον
Ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη,
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα.
Πάντες δ' ἠρήσαντο, παραὶ λεχέεσσι κλιθῆναι.
Τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων.
Μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες,
Νῦν μὲν δαινύμενοι τερπώμεθα. μηδὲ βοητὺς
Ἔστω, ἐπεὶ τόδε καλὸν, ἀκουέμεν ἐστὶν ἀοιδοῦ
Τοιοῦδ', οἷος ὅδ' ἐστὶ θεοῖς ἐναλίγκιος αὐδήν.
Ἠῶθεν δ' ἀγορήνδε καθεζώμεσθα κιόντες
Πάντες, ἵν' ὑμῖν μῦθον ἀπηλεγέως ἀποείπω,
Ἐξιέναι μεγάρων. ἄλλας δ' ἀλεγύνετε δαῖτας,
Ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ οἴκους.
Εἰ δ' ὕμμιν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον
Ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
Κείρετ', ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,

Αἴ κε-

ἄντα παρειάων.] προκαταλυψαμένη τῷ καλύμματι. σχομένη.] καλυψαμένη. κατασχοῦσα. λιπαρά.] ἁπαλά. καλά. κρήδεμνα.] ἐπὶ δὲ κεφαλῆς περιδέσμια. κεδνή.] προσηνής. σώφρων.] συνετή. ἑκάτερθεν.] ἐξ ἑκατέρου μέρους. θελκτήρια.] τὰ θέλγοντα καὶ ἀπατῶντα τοὺς ἀνθρώπους. κλείουσιν.] ὑμνοῦσι. δοξάζουσι. σιωπῇ.] μετὰ σιωπῆς. πινόντων.] πινέτωσαν Ἀττικῶς. λυγρῆς.] χαλεπῆς. τείρει.] καταπονεῖ. καθίκετο.] καθήψατο. ἄλαστον.] ἀνεπίληστον.

τοίην γὰρ κεφαλὴν.] τοιοῦτον γὰρ ἄνδρα. καθ' Ἑλλάδα.] κατὰ τὴν Θετταλίαν, ἀπὸ μιᾶς πόλεως ὀνόματι Ἑλλάδος. ἐρίηρον.] ἐνάρμοστον. νήπροσην. ὄρνυται.] προήρηται. οἶτον.] θάνατον. ἀλφηστῇσιν.] ἐφευρετικοῖς. ἐπινοητικοῖς. ἐντίμοις. ἐπικλείουσι.] ὑμνοῦσι, δοξάζουσι. ἀκουόντεσσιν.] ἀκούουσι. νεωτάτη ἀμφιπέληται.] περὶ τινων λέγεται συντελεσθῆναι. ἐπιτολμάτω.] ὑπομενέτω. ἐν Τροίῃ πολλοὶ δὲ καὶ ἄλλοι.] διαστολῇ ἀναγνωστέον. οὐ γὰρ Ὀδυσσεὺς ἐν Τροίᾳ ἀπώλετο. φῶτες.] ἄνδρες. ἀλλ' εἰς οἶκον ἰοῦσα.] ἀθετοῦνται ἐνταῦθα, ἐπὶ δὲ τοῦ Ἕκτορος καλῶς. κράτος.] νῦν ἡ δεσποτεία. κόμιζε.] ἐπιμελείας ἠξίου. ἠλακάτην.] ἐριουργὸν ἐργαλεῖον. ἐποίχεσθαι.] πορεύεσθαι. θαμβήσασα.] ἐκπλαγεῖσα. θαυμάσασα. πεπνυμένον.] συνετόν. βεβήκει.] ἐπορεύετο. ἔνθετο θυμῷ.] ἐνέβαλε τῇ ψυχῇ. συνῆκε. ὑπερῷα.] τὰ ἀνώγεα οἰκήματα. ὄφρα.] μέχρις ὅτε. ἕως. οἱ.] αὐτῇ. ὁμάδησαν.] ἐθορύβησαν. ἀνὰ μέγαρα.] κατὰ τοὺς οἴκους. σκιόεντα.] σύσκια διὰ τὸ ὕψος. παραὶ λεχέεσσι.] παρὰ κοίταις. κλιθῆναι.] συγγενέσθαι. λεχέεσσι.] κοίταις. ὑπέρβιον.] ὑπερήφανον. βιαίαν ὕβριν ἔχοντες. δαινύμενοι.] εὐωχούμενοι. βοητύς.] βοή. κραυγή. κιόντες.] ἐλθόντες. καθεζώμεσθα.] καθεζέσθαι. ἀπηλεγέως.] ἀποτόμως. στερρῶς. ἀποείπω.] ἀποφανοῦμαι. ἐξιέναι.] ἐξελθεῖν. ἀντὶ τοῦ ἐξέλθετε. ἄλλας δ' ἀλεγύνετε δαῖτας.] ἄλλας δὲ διὰ φροντίδος ἔχετε εὐωχίας. ὑμά.] ὑμέτερα. ἀμειβόμενοι.] ἐκδιαδοχῆς ἀλλήλους ὑποδεχόμενοι, καὶ ἀμοιβῆς. δοκέει.] δοκεῖ, νομίζει. λωΐτερον κρεῖττον. βέλτιον. κείρετε.] συντόμως ἐσθίετε. ἐπιβώσομαι.] ἐπικαλέσομαι.

παλίντιτα]

Αἴ κέ ποθι Ζεὺς δῶσι παλίντιτα ἔργα γενέσθαι,
Νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.
Ὣς ἔφατ᾽, οἱ δ᾽ ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
Τὸν δ᾽ αὖ Ἀντίνοος προσέφη Εὐπείθεος υἱός,
Τηλέμαχ᾽, ἦ μάλα δή σε διδάσκουσιν θεοὶ αὐτοὶ
Ὑψαγόρην τ᾽ ἔμεναι, καὶ θαρσαλέως ἀγορεύειν,
Μὴ σέ γ᾽ ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων
Ποιήσειεν, ὅ, τοι γενεῇ πατρώϊόν ἐστιν.
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Ἀντίνο᾽ εἴπερ μοι καὶ ἀγάσεαι ὅ, ττι κεν εἴπω,
Καί κεν τοῦτ᾽ ἐθέλοιμι Διός γε διδόντος ἀρέσθαι.
Ἦ φῂς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι
Οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν. αἶψά τέ οἱ δῶ
Ἀφνειὸν πέλεται, καὶ τιμηέστερος αὐτός,
Ἀλλ᾽ ἤτοι βασιλῆες Ἀχαιῶν εἰσὶ καὶ ἄλλοι
Πολλοὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ νέοι, ἠδὲ παλαιοί.
Τῶν κέν τις τόδ᾽ ἔχῃσιν, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς.
Αὐτὰρ ἐγὼν, οἴκοιο ἄναξ ἔσομ᾽ ἡμετέροιο,
Καὶ δμώων, οὕς μοι ληΐσσατο δῖος Ὀδυσσεύς.
Τὸν δ᾽ αὖτ᾽ Εὐρύμαχος Πολύβου παῖς ἀντίον ηὔδα.
Τηλέμαχ᾽, ἤτοι ταῦτα θεῶν ἐν γούνασι κεῖται,
Ὅς τις ἀμφιάλῳ Ἰθάκῃ βασιλεύσει Ἀχαιῶν,
Κτήματα δ᾽ αὐτὸς ἔχοις καὶ δώμασιν οἷσιν ἀνάσσοις,
Μὴ γὰρ ὅ γ᾽ ἔλθοι ἀνὴρ, ὅς τις σ᾽ ἀέκοντα βίηφι
Κτήματ᾽ ἀπορραίσει Ἰθάκης ἔτι ναιεταώσης,
Ἀλλ᾽ ἐθέλω σε φέριστε περὶ ξείνοιο ἐρέσθαι,
Ὁππόθεν οὗτος ἀνὴρ, ποίης δ᾽ ἐξ εὔχεται εἶναι
Γαίης, ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα,
Ἤ τοι ἀγγελίην πατρὸς φέρει ἐρχομένοιο,
Ἦ ἑὸν αὐτοῦ χρεῖος ἐελδόμενος τόδ᾽ ἱκάνει
Οἷον ἀναΐξας ἄφαρ οἴχεται, οὐδ᾽ ὑπέμεινε
Γνώμεναι, οὐ μὲν γάρ τι κακῷ εἰς ὦπα ἐῴκει.
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα,
Εὐρύμαχ᾽ ἤτοι νόστος ἀπώλετο πατρὸς ἐμοῖο,
Οὔτ᾽ οὖν ἀγγελίης ἔτι πείθομαι, εἴ ποθεν ἔλθοι.
Οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν τινα μήτηρ
Ἐς μέγαρον καλέσασα θεοπρόπον ἐξερέηται.
Ξεῖνος δ᾽ οὗτος ἐμὸς πατρώϊος ἐκ τάφου ἐστί,
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχεται εἶναι
Υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσει.
Ὣς φάτο Τηλέμαχος, φρεσὶ δ᾽ ἀθανάτην θεὸν ἔγνω.
Οἱ δ᾽ εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
Τρεψάμενοι τέρποντο, μένον δ᾽ ἐπὶ ἕσπερον ἐλθεῖν.
Τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθε.
Δὴ τότε κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος.

Τηλέμαχος

παλίντιτα.] ὑπὲρ ὧν δὴ ἑτέρου τιμωρία γίνεται. ὅ.] διό. ὄλοισθε.] ἀπόλοισθε. ὀδὰξ ἐν χείλεσι φύντες.] ἐνδακόντες τὰ χείλη. θαρσαλέως.] τολμηρῶς. καὶ τεθαρρηκότως. ὑψαγόρην.] μεγαλορρήμονα. ἀμφιάλῳ.] περιρρεομένῃ πανταχόθεν ὑπὸ τῆς θαλάσσης. ἀγάσεαι.] θαυμάσειας. ἢ φθονήσειας. καί κεν τοῦτ᾽ ἐθέλοιμι.] τὸ ἰδιωτεύειν. Διὸς βουλομένου. οὐ γάρ ἐστι πάνυ καλόν. ἦ φῂς.] ἢ ἄρα λέγεις. βασιλευέμεν. βασιλεύειν. ἀρέσθαι.] ὑπενέγκασθαι. τιμηέστερος.] τιμιώτερος. ἔχῃσι.] ἐχέτω. δμώων.] δούλων, οἰκετῶν. ληΐσατο.] λάφυρα γὰρ κυρίως ἡ τῶν πολεμικῶν λαφύρων συναγωγή. βίηφι.] βιαίως. βίᾳ.

πολύβου παῖς.] Εὐρύμαχος. ἀπορραίσει.] διαφθερεῖ. ἀποσπάσει. ναιεταώσης.] οἰκουμένης. ἐρέσθαι.] ἐρωτῆσαι. πυθέσθαι. ὁππόθεν.] πόθεν. ποίης δ᾽ ἐξ.] ἐκ ποίας δέ. εἰς ὦπα.] τὴν πρόσοψιν. ἀγγελίην.] ἀπαγγελίαν. ἐῴκει.] ὅμοιος ἦν. ἑὸν αὐτοῦ. ἑαυτοῦ. χρεῖος.] χρέος. ὄφλημα. νόστος.] ἡ οἴκαδε ἐπάνοδος. ἐελδόμενος.] ἐπιθυμῶν. τόδ᾽ ἱκάνει.] ἐνθάδε παραγέγονεν. ἐλήλυθεν. ἄφαρ.] ταχέως. οἷον.] ἀντὶ τοῦ ὅπως. θεοπροπίης.] μαντείας. ἐμπάζομαι.] ἀντιποιοῦμαι. ἐξερέηται.] ἐρωτήσαι. πύθηται. ἱμερόεσσαν.] ἐπέραστον. καλήν. τρεψάμενοι.] τραπέντες. ἕσπερον.] ἀντὶ τοῦ ἑσπέραν, ἕσπερος. μετέπλασε τὴν ἑσπέραν εἰς τὸ ἑσπέριον δεῖπνον.

θάλαμος

Τηλέμαχος δ᾽ ὅθι οἱ θάλαμος περικαλλέος αὐλῆς
Ὑψηλὸς δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
Ἔνθ᾽ ἔβη εἰς εὐνὴν πολλὰ φρεσὶ μερμηρίζων,
Τῷ δ᾽ ἄρ᾽ ἅμ᾽ αἰθομένας δαΐδας φέρε κέδν᾽ εἰδυῖα
Εὐρύκλει᾽ Ὦπος θυγάτηρ Πεισηνορίδαο.
Τήν ποτε Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν
Πρωθήβην ἔτ᾽ ἐοῦσαν, ἐεικοσίβοια δ᾽ ἔδωκεν,
Ἶσα δέ μιν κεδνῇ ἀλόχῳ τίεν ἐν μεγάροισιν,
Εὐνῇ δ᾽ οὔποτ᾽ ἔμικτο, χόλον δ᾽ ἀλέεινε γυναικός,
Ἥ οἱ ἅμ᾽ αἰθομένας δαΐδας φέρε, καί ἑ μάλιστα
Δμωάων φιλέεσκε, καὶ ἔτρεφε τυτθὸν ἐόντα,
Ὤιξεν δὲ θύρας θαλάμου πύκα ποικτοῖο.
Ἕζετο δ᾽ ἐν λέκτρῳ, μαλακὸν δ᾽ ἔκδυνε χιτῶνα.
Καὶ τὸν μὲν γραίης πυκιμηδέος ἔμβαλε χερσίν
Ἡ μὲν τὸν πτύξασα, καὶ ἀσκήσασα χιτῶνα,
Πασσάλῳ ἐγκρεμάσασα παρὰ τρητοῖσι λέχεσσι,
Βῆῤ ἴμεν ἐκ θαλάμοιο, θύρην δ᾽ ἐπέρυσε κορώνῃ
Ἀργυρέῃ, ἐπὶ δὲ κληῗδ᾽ ἐτάνυσσεν ἱμάντι,
Ἔνθ᾽ ὅγε παννύχιος κεκαλυμμένος οἰὸς ἀώτῳ,
Βούλευε φρεσὶν ᾗσιν ὁδὸν, τὴν πέφραδ᾽ Ἀθήνη.

θάλαμος.] ὁ κοιτών. κακείοντες. κατακειμηθησόμενοι. δέδμητο.] ᾠκοδόμητο. περισκέπτῳ.] ὑψηλῷ, ὅθεν ἐστὶ περισκέψασθαι. ἢ πάντοθεν ὁρωμένῳ περιορατῷ. χώρῳ.] τόπῳ. μερμηρίζων. διανοούμενος. μεριμνῶν. εἰς πολλὰ μέρη διαιρῶν τὴν ψυχήν. αἰθομένας. καιομένας. λαμπούσας. δαΐδας. δᾳδας. λαμπάδας. κέδνα.] συνετὰ προσφιλῆ. εἰδυῖα.] ἐπισταμένη. τίεν. ἐτίμα. Ὦπος. περισπαστέον διὰ τὴν ἀντέκφρασιν πρὸς τὸν ὀφθαλμόν.

Ὦπος θυγάτηρ.] Εὐρύκλεια. πρίατο.] ἠγόρασεν. πρωθήβην.] πρώτην ἀκμὴν ἡλικίας ἔχουσαν. ἐεικοσίβοια.] εἴκοσι βοῶν ἄξια. ἶσα.] ἐπίσης. ὁμοίως κεδνῇ.] τιμίᾳ. ἔμικτο.] ἐμίγη. ἀλέεινε ἐφυλάσσετο. φιλέεσκεν.] ἐφίλει. ὤϊξεν. ἀνέῳξεν. λέκτρῳ.] κοίτῃ. πύκα ποιητοῖο.] καλῶς κατεσκευασμένου. ἔκδυνε.] ἐξεδύσατο. πυκιμηδέος.] συνετῆς. πτύξασα καὶ ἀσκήσασα.] μετ᾽ ἐπιμελείας διπλώσασα. τρητοῖσι.] τορνευτικοῖς ἱμαντοδέτοις. ἐπέρυσε.] ἐφελκύσατο. ἐπεσπάσατο. κορώνῃ.] τῷ λεγομένῳ κόρακι. ἐπὶ δὲ κληῗδ᾽ ἐτάνυσεν ἱμάντι.] τὸ λεγόμενον ἐφ᾽ ἡμῶν κλεῖθρον. δύο δὲ τοῦτο εἶχεν ἱμάντας ἐξηρτημένους διατείνων τρήσεων, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν, εἰς τὸ δύνασθαι ἀνοῖξαι καὶ κλεῖσαι. νῦν οὖν τὸ κλεῖθρον παρέτεινε καὶ παρήγαγε τῷ ἱμάντι. κορώνῃ.] τῷ ἐπισπαστῷ τῆς θύρας. οἰὸς ἀώτῳ.] τῷ ἄνθει. καὶ τῷ καλλίστῳ τοῦ προβάτου. λέγει δὲ τὸ ἐξ ἁπαλῶν ἐρίων γεγονότων περιβόλαιον. βούλευε.] ἐβουλεύετο. πέφραδε.] εἶπεν, ἐσήμανεν.

ΟΔΥΣΣΕΙΑΣ

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Β ΤΟΥ
## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Συναγαγὼν ἐκκλησίαν Τηλέμαχος, παραγγέλλει τοῖς μνηστῆρσιν ἐξιέναι τῆς οἰκίας τοῦ Ὀδυσσέως, καὶ λαβὼν παρὰ μὲν Εὐρυκλείας τὰ πρὸς τὴν ἀποδημίαν ἐπιτήδεια, παρὰ δὲ τῆς Ἀθηνᾶς ἑταίρους τε καὶ ναῦν εἰς πλεῦν ἀνάγεται ἡλίου δύνατος.

ΣΚΟΛΙΑ